**Lukasevangelium 4**

**4,14** Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν.

καὶ φήμη ἐξῆλθεν καθʼ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.

**4,15** καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν,

δοξαζόμενος ὑπὸ πάντων.

**4,16** Καὶ ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος,

καὶ εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν,

καὶ ἀνέστη ἀναγνῶναι.

**4,17** καὶ ἐπεδόθη αὐτῷ βιβλίον τοῦ προφήτου Ἠσαΐου,

καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον

οὗ ἦν γεγραμμένον,

**4,18** Πνεῦμα κυρίου ἐπʼ ἐμέ,

οὗ εἵνεκεν ἔχρισέν με

εὐαγγελίσασθαι πτωχοῖς,

ἀπέσταλκέν με,

κηρύξαι αἰχμαλώτοις ἄφεσιν

καὶ τυφλοῖς ἀνάβλεψιν,

ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει,

**4,19** κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν.

**4,20** καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν·

καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ.

**4,21** ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς

ὅτι Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.

4,22 Καὶ πάντες ἐμαρτύρουν αὐτῷ

καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ,

καὶ ἔλεγον,

Οὐχὶ υἱός ἐστιν Ἰωσὴφ οὗτος;

4,23 καὶ εἶπεν πρὸς αὐτούς,

Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην·

Ἰατρέ,

θεράπευσον σεαυτόν·

ὅσα ἠκούσαμεν γενόμενα εἰς τὴν Καφαρναοὺμ

ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.

4,24 εἶπεν δέ,

Ἀμὴν λέγω ὑμῖν

ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ.

4,25 ἐπ᾽ ἀληθείας δὲ λέγω ὑμῖν,

πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ,

ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ,

ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν,

4,26 καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας

εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα χήραν.

4,27 καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου τοῦ προφήτου,

καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Ναιμὰν ὁ Σύρος.

4,28 καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα,

4,29 καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως,

καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους

ἐφ᾽ οὗ ἡ πόλις ᾠκοδόμητο αὐτῶν,

ὥστε κατακρημνίσαι αὐτόν·

4,30 αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο.